ὡς ἐμὲ μὲν καὶ νῆα καὶ ἐμπορίην κακὸς Εὖρος
ὤλεσεν, Εὐίππου δ' αὐτὸ λέλειπτ' ὄνομα.

## XXXII

Λυδὴ καὶ γένος εἰμὶ καὶ οὔνομα, τῶν δ' ἀπὸ Κόδρου
σεμνοτέρη πασῶν εἰμι δι' Ἀντίμαχον·
τίς γὰρ ἔμ' οὐκ ἤεισε; τίς οὐκ ἀνελέξατο Λυδήν,
τὸ ξυνὸν Μουσῶν γράμμα καὶ Ἀντιμάχου;

## XXXIII

ἰὼ παρέρπων, μικρὸν εἴ τι κἀγκονεῖς ἄκουσον
τὰ Βότρυος περισσὰ δῆτα κήδη,
ὃς πρέσβυς ὀγδώκοντ' ἐτῶν τὸν ἐκ νέων ἔθαψεν
ἤδη τι τέχνᾳ καὶ σοφὸν λέγοντα.
φεῦ τὸν τεκόντα, φεῦ δὲ καὶ σέ, Βότρυος φίλος παῖ,
ὅσᾶν ἄμοιρος ἡδονᾶν ἀπώλευ.

## XXXIV [XLI G.–P.]

Ἀρχεάνασσαν ἔχω τὰν ἐκ Κολοφῶνος ἑταίραν,
ἇς καὶ ἐπὶ ῥυτίδων ὁ γλυκὺς ἕζετ' Ἔρως.
ἆ νέον ἥβης ἄνθος ἀποδρέψαντες ἐρασταί
πρωτοβόλου, δι' ὅσης ἤλθετε πυρκαϊῆς.